τῶν· τῇ ἄρα μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσῃ μία
μόνον προσαρμόζει:

[illegible] πδ
Τῇ μετὰ μέσου μέσον τὸ ὅλον ποιούσῃ μία μόνον προσ-
αρμόζει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ·
μετὰ δὲ τῆς ὅλης ποιοῦσα τό τε συγκείμενον ἐκ
τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον· καὶ τὸ δὶς ὑπ' αὐ-
τῶν μέσον· καὶ ἔτι ἀσύμμετρον τὸ συγκείμενον ἐκ
τῶν ἀπ' αὐτῶν τῷ δὶς ὑπ' αὐτῶν· ἔστω ἡ μετὰ μέ-
σου μέσον τὸ ὅλον ποιοῦσα ἡ αβ· προσαρμόζου-
σα δὲ ἡ βγ· αἱ ἄρα αγ, γβ δυνάμει εἰσὶν ἀσύμμετροι
ποιοῦσαι τό τε συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τε-
τραγώνων μέσον· καὶ τὸ δὶς ὑπὸ τῶν αγ, γβ μέσον·
καὶ ἔτι τὰ ἀπὸ τῶν αγ, γβ τετράγωνα ἀσύμμετρα
τῷ δὶς ὑπὸ τῶν αγ, γβ· λέγω ὅτι τῇ αβ ἑτέρα
οὐ προσαρμόσει δυνάμει ἀσύμμετρος οὖσα τῇ
ὅλῃ· μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὰ προειρημένα·
εἰ γὰρ δυνατόν, προσαρμοζέτω ἡ βδ· ὥστε καὶ τὰς
αδ, δβ δυνάμει εἶναι ἀσυμμέτρους ποιούσας τό τε
συγκείμενον ἐκ τῶν αδ, δβ τετραγώνων ἅμα μέσον· καὶ τὸ
δὶς ὑπὸ τῶν αδ, δβ μέσον· καὶ ἔτι τὰ ἀπὸ τῶν αδ,
δβ ἀσύμμετρα τῷ δὶς ὑπὸ τῶν αδ, δβ· καὶ ἐκκεί-
σθω ῥητὴ ἡ εζ· καὶ τοῖς μὲν ἀπὸ τῶν αγ, γβ ἴσον
παρὰ τὴν εζ παραβεβλήσθω τὸ εη πλάτος ποι-
οῦν τὴν εμ· τῷ δὲ δὶς ὑπὸ τῶν αγ, γβ ἴσον πα-
ρὰ τὴν εζ παραβεβλήσθω τὸ ηθ πλάτος ποι-
οῦν τὴν θμ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς αβ ἴσον ἐστὶ

τῷ ελ· ἡ ἄρα αβ δύναται τὸ ελ· πάλιν τοῖς ἀπὸ τῶν
αδ, δβ ἴσον παρὰ τὴν εζ παραβεβλήσθω τὸ ει πλάτος
ποιοῦν τὴν εν· ἔστι δὲ καὶ τὸ ἀπὸ τῆς αβ ἴσον τῷ
ελ· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν αδ, δβ ἴσον τῷ θι·
καὶ ἐπεὶ μέσον ἐστὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν αγ, γβ
καί ἐστιν ἴσον τῷ εη· μέσον ἄρα ἐστὶ καὶ τὸ εη καὶ παρὰ ῥη-
τὴν τὴν εζ παράκειται πλάτος ποιοῦν τὴν εμ·
ῥητὴ ἄρα ἐστὶν ἡ εμ καὶ ἀσύμμετρος τῇ εζ μήκει·
πάλιν ἐπεὶ μέσον ἐστὶ τὸ δὶς ὑπὸ τῶν αγ, γβ καί ἐστιν ἴσον
τῷ θη· μέσον ἄρα καὶ τὸ θη καὶ παρὰ ῥητὴν τὴν εζ
παράκειται πλάτος ποιοῦν τὴν θμ· ῥητὴ ἄρα ἐστὶν
ἡ θμ καὶ ἀσύμμετρος τῇ εζ μήκει· καὶ ἐπεὶ ἀσύμμετρά
ἐστι τὰ ἀπὸ τῶν αγ, γβ τῷ δὶς ὑπὸ τῶν αγ, γβ· ἀσύμ-
μετρον ἄρα ἐστὶ καὶ τὸ εη τῷ θη· ἀσύμμετρος ἄρα ἐστὶν
καὶ ἡ εμ τῇ μθ μήκει· καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ
ἄρα εμ, μθ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀπο-
τομὴ ἄρα ἐστὶν ἡ εθ· προσαρμόζουσα δὲ αὐτῇ ἡ θμ·
ὁμοίως δὴ δείξομεν ὅτι ἡ εθ πάλιν ἀποτομή ἐστι·
προσαρμόζουσα δὲ αὐτῇ ἡ θν· τῇ ἄρα ἀποτομῇ
ἄλλη καὶ ἄλλη ῥητὴ προσαρμόζει δυνάμει μόνον σύμ-
μετρος οὖσα τῇ ὅλῃ· ὅπερ ἐδείχθη ἀδύνατον· οὐκ
ἄρα τῇ αβ ἑτέρα προσαρμόσει εὐθεῖα· τῇ ἄρα
αβ μία μόνον προσαρμόζει εὐθεῖα δυνάμει ἀσύμ-
μετρος οὖσα τῇ ὅλῃ· μετὰ δὲ τῆς ὅλης ποιοῦσα
τά τε ἀπ' αὐτῶν τετράγωνα ἅμα μέσον· καὶ τὸ δὶς ὑπ'
αὐτῶν μέσον· καὶ ἔτι τὰ ἀπ' αὐτῶν τετράγωνα

BIBLIOTHECA · BODLEIANA